# 07.1.1+1.2A Μενάνδρου Δύσκολος als docx

***Χαι·*** Τί φῄς; Ἰδὼν ἐνθένδε παῖδ' ἐλευθέραν
τὰς πλησίον Νύμφας στεφανοῦσαν, Σώστρατε,
ἐρῶν ἀπῆλθες εὐθύς; ***Σώ·*** Εὐθύς. ***Χαι·*** Ὡς ταχύ.
Ἦ τοῦτ' ἐβεβούλευσ' ἐξιών, ἐρᾶν τινος;
***Σώ·*** Σκώπτεις· ἐγὼ δὲ, Χαιρέα, κακῶς ἔχω.



***Χαι·*** Ἀλλ' οὐκ ἀπιστῶ. ***Σώ·*** Διόπερ ἥκω παραλαβὼν
σὲ πρὸς τὸ πρᾶγμα, καὶ φίλον καὶ πρακτικὸν
κρίνας μάλιστα. ***Χαι·*** Πρὸς τὰ τοιαῦτα, Σώστρατε,
οὕτως ἔχω· παραλαμβάνει τις τῶν φίλων
ἐρῶν ἑταίρας· εὐθὺς ἁρπάσας φέρω,
μεθύω, κατακάω, λόγον ὅλως οὐκ ἀνέχομαι·
πρὶν ἐξετάσαι γὰρ ἥτις ἐστί, δεῖ τυχεῖν[1].
Τὸ μὲν βραδύνειν γὰρ τὸν ἔρωτ' αὔξει πολύ,
ἐν τῶι ταχέως δ' ἔνεστι παύσασθαι ταχύ.
γάμον λέγει τις καὶ Κο·  ν ἐλευθέραν·
ἕτερος τίς εἰμ' ἐνταῦθα· πυνθάνομαι γένος,
βίον, τρόπους. Εἰς πάντα τὸν λοιπὸν χρόνον
μνείαν γὰρ ἤδη τῶι φίλωι καταλείπομαι
ὡς ἂν διοικήσω περὶ ταῦτα. ***Σώ·*** Καὶ μάλ' εὖ
(οὐ πάνυ δ' ἀρεσκόντως ἐμοί). ***Χαι·*** Καὶ νῦν γε δεῖ
ταῦτα διακοῦσαι πρῶτον ἡμᾶς. ***Σώ·*** ὄρθριον
τὸν Πυρρίαν τὸν συγκυνηγὸν οἴκοθεν
ἐγὼ πέπομφα– ***Χαι·*** Πρὸς τίνα; ***Σώ·*** αὐτῶι τῶι πατρὶ
ἐντευξόμενον τῆς παιδὸς ἢ τῶι κυρίωι
τῆς οἰκίας ὅστις ποτ' ἐστίν. ***Χαι·*** Ἡράκλεις,
οἷον λέγεις. ***Σώ·*** ἥμαρτον· οὐ γὰρ οἰκέτηι
ἥρμοττ' ἴσως τὸ τοιοῦτ<ό γ'>. ἀλλ' οὐ ῥάιδιον
ἐρῶντα συνιδεῖν ἐστι τί ποτε συμφέρει·
καὶ τὴν διατριβὴν ἥτις ἔστ' αὐτοῦ πάλαι
τεθαύμακ'· εἰρήκειν γὰρ εὐθὺς οἴκαδε
αὐτῶι παρεῖναι πυθομένωι τἀνταῦθά μοι.

***Πυ·*** πάρες, φυλάττου, πᾶς ἄπελθ' ἐκ τοῦ μέσου·
μαίνεθ' ὁ διώκων, μαίνεται. ***Σώ·*** τί τοῦτο, παῖ;
***Πυ·*** φεύγετε. ***Σώ·*** τί ἐστι; ***Πυ·*** Βάλλομαι βώλοις, λίθοις·
ἀπόλωλα. ***Σώ·*** Βάλλει; ποῖ, κακόδαιμον; ***Πυ·*** οὐκέτι
ἴσως διώκει; ***Σώ·*** μὰ Δία. ***Πυ·*** ἐγὼ δ' ᾤμην. ***Σώ·*** τί δαὶ
λέγεις; ***Πυ·*** ἀπαλλαγῶμεν, ἱκετεύω σε. ***Σώ·*** ποῖ;
***Πυ·*** ἀπὸ τῆς θύρας ἐντεῦθεν ὡς πορρωτάτω.
Ὀδύνης γὰρ υἱὸς ἤ<ν>· κακοδαιμ<ον>ῶν τις ἢ
μελαγχολῶν ἄνθρωπος οἰκῶ[ν ἐνθαδ]ὶ
τὴν οἰκίαν πρὸς ὅν μ' ἔπεμπ[ας ὄρθριον
μεγάλου κακοῦ· τοὺς δακτύλους [κατέαξα γὰρ
σχεδόν τι προσπταίων ἅπα[ντας. ***Σώ·*** ἆρ ἴσως
ἐλθών τι πεπαρῴνηκε δεῦ[ρο; ***Χαι·*** παραφρονῶν
εὔδηλός ἐστι. ***Πυ·*** νὴ Δί', ἐξώλ[ης ἄρα,
Σώστρατ', ἀπολο[ίμην· ***Σώ·*** ἔχε] δέ πως φυλακτικῶς.
***Πυ·*** ἀλλ' οὐ δύναμαι λ[έγειν, προ]σέστηκεν δέ μοι
τὸ πνεῦμα. κόψας τὴν θύραν τῆς οἰκίας
τὸν κύριον ζητεῖν ἔφην· προῆλθέ μοι
γραῦς τις κακοδαίμων, αὐτόθεν δ' οὗ νῦν λέγων
ἕστηκ' ἔδειξεν αὐτὸν ἐπὶ τοῦ λοφιδίου
ἐκεῖ περιφθειρόμενον ἀχράδας, ἢ πολὺν
κύφων' ἑαυτῶι συλλέγοντα. ***Χαι·***[2] ὡς ὀργίλως.
τί, ὦ μακάριε; ***Πυ·*** ἐγὼ μὲν εἰς τὸ χωρίον
ἐμβὰς ἐπορευόμην πρὸς αὐτὸν καὶ πάνυ
πόρρωθεν, εἶναί τις φιλάνθρωπος σφόδρα
ἐπιδέξιός τε βουλόμενος προσεῖπα καὶ
«ἥκω τι» φημί «πρός σε, πάτερ, ἰδεῖν τί σε
σπεύδων ὑπὲρ σοῦ πρᾶγμ'»· <ὁ δ'> εὐθύς, «ἀνόσιε
ἄνθρωπέ,» φησιν,« εἰς τὸ χωρίον δέ μου
ἥκεις <σύ ;> τί μαθών;» βῶλον αἴρεταί τινα·
ταύτην ἀφίησ' εἰς τὸ πρόσωπον αὐτό μου.
***Χαι·*** ἐς κόρακας. ***Πυ·*** ἐν ὅσωι δ' «ἀλλά σ' ὁ Ποσειδῶν –» λέγων
κατέμυσα, χάρακα λαμβάνει πάλιν τινά·
ταύτηι μ' ἐκάθαιρε, «σοὶ δὲ κἀμοὶ πρᾶγμα τί
ἐστιν;» λέγων, «τὴν δημοσίαν οὐκ οἶσθ' ὁδόν;»



ὀξύτατον ἀναβοῶν τι. ***Χαι·*** μαινόμενον λέγεις
τελέως γεωργόν. ***Πυ·*** τὸ δὲ πέρας· φεύγοντα γὰρ
δεδίωχ' ἴσως με στάδια πέντε καὶ δέκα,
περὶ τὸν λόφον πρώτιστον, εἶθ' οὕτω κάτω
εἰς τὸ δασὺ τοῦτο, σφενδονῶν βώλοις, λίθοις,
ταῖς ἀχράσιν ὡς οὐκ εἶχεν οὐδὲν ἄλλ' ἔτι.
ἀνήμερόν τι πρᾶγμα τελέως, ἀνόσιος
γέρων. ἱκετεύω σ', ἄπιτε. ***Σώ·*** δειλίαν λέγεις

---

[1] *τυχεῖν erg. αὐτῆς*

[2] ***Χαι·*** *(höhnisch) - das folgende τί „was weiter?"*